eul_wid: klo-aj

*Ἀριστοφάνης ὁ Βυζάντιος* · Aristophanes of Byzantium

# On Human Development and Aging

## *Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πραγματεία* Treatise

1-5t Περὶ ὀνομασίας ἡλικιῶν. Ammo n .

1 p. 35. sq. sive Ety m . Gu d . p. 124. (cf. Eus t . Od. p. 1788, 52.): Γέρων καὶ πρεσβύτης καὶ προβεβηκώς διαφέρει. Ἀλεξίων δηλοῖ ἐν ἐπιτομῇ τῶν Διδύμου Συμμίκτων, λέγων οὕτως· Ἐκ τῶν Ἀριστοφάνους περὶ ἀνθρώπου γενέσεως καὶ αὐξήσεως ἄχρι γήρως· Βρέφος μὲν γάρ ἐστι τὸ γεννηθὲν εὐθέως· παιδίον δὲ τὸ τρεφόμενον ὑπὸ τιθηνοῦ· παιδάριον δὲ τὸ ἤδη περιπατοῦν καὶ τῆς λέξεως ἀντεχόμενον· παιδίσκος δ’ ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ· παῖς δ’ ὁ διὰ τῶν ἐγκυκλίων μαθημάτων δυνάμενος ἰέναι. τὴν δὲ ἐχομένην ταύτης ἡλικίαν οἱ μὲν πάλλακ α , οἱ δὲ βούπαιδ α , οἱ δὲ ἀντίπαιδα, οἱ δὲ μελλέφηβον καλοῦσιν· ὁ δὲ μετὰ ταῦτα ἔφηβο ς· ἐν δὲ Κυρήνῃ τοὺς ἐφήβους τριακαδίους καλοῦσιν· ἐν δὲ Κρήτῃ ἀποδρόμους, διὰ τὸ μηδέπω τῶν κοινῶν δρόμων μετέχειν. ὁ δὲ μετὰ ταῦτα μειράκιον ἢ μεῖρα ξ , εἶτα νεανίσκο ς , εἶτα νεανία ς , εἶτα ἀνὴρ μέσος, εἶτα προβεβηκώς, ὃν καὶ ὠμογέροντα καλοῦσιν, γέρων, εἶτα πρεσβύτης, εἶτα ἐσχατόγηρω ς. Eus t .

2 Od. p. 1404. extr.: Τὰ τέλεια ἐπὶ πλείστων γενῶν καὶ κατηρτυκότα λειπογνώμονα καλεῖται διὰ τὸ μηκέτι ἔχειν ὀδόντας τοὺς γνώμονας καλουμένους, οἷς ἐπιγινώσκουσιν οἱ ἔμπειροι τοὺς πρωτοβόλους· ὁ δὲ τοῦτο γράψας Ἀριστοφάνης λέγει καὶ Ἀττικήν τινα δωδεκῆδα θύεσθαι λεγομένην λειπογνώμονα, οἷον τελείαν. καὶ ὅτι ἔνιοι τὸν ῥηθέντα ὀδόντα οὐ γνώμονα καλοῦσιν ἀλλὰ γνῶμ α , οἷον· „νέα δ’ ἔτ’ ἐστίν· οὐχ ὁρᾷς; καὶ γνῶμ’ ἔχει“. καὶ πάλιν· „(τὸ) γνῶμα γοῦν βέβληκεν ὡς οὗς’ ἑπτέτησ“. Τῶν συῶν οἱ μὲν τέλειοι καὶ ἐνόρχαι κάπροι · οἱ δὲ πίονες αὐτῶν σίαλοι · ἡ δὲ θήλεια σῦς μόνον.

3 Ἱππῶναξ δὲ γρόμφιν λέγει, εἴτε καθόλου· πᾶσαν ὗν δηλῶν, εἴτε τὴν παλαιὰν τῇ ἡλικίᾳ. τὰ δὲ νέα, δέλφακες μὲν τὰ πεπηγότα πως ἤδη τοῖς σώμασι, τὰ δὲ ἔτι ἁπαλὰ καὶ ἔνικμα χοῖρο ι. Eus t .

4 Od. p. 1625, 33: Ἰστέον δὲ ὅτι ἐν τῷ περὶ ὀνομασίας ἡλικιῶν γράφει ὁ γραμματικὸς Ἀριστοφάνης τοιαῦτα χρήσιμα εἰς τὰ προκείμενα. „Τῶν αἰγῶν οἱ μὲν τέλειοι τράγοι καὶ ἴξαλοι, ἡ δὲ ἐχομένη ἡλικία χίμαροι, τὰ δὲ νεώτατα ἔριφο ι. ὁ δὲ ποιητὴς ἐν Ὀδυσσείᾳ τὰ τέλεια μὲν προγόνους καλεῖ, τὰ δὲ μετὰ ταῦτα μετάσσας, τὰ δὲ ἔτι νεώτερα ἕρσα ς . καὶ ἐσσῆνες δὲ καλοῦνται ἡλικία τις, καὶ πρητῆνες καὶ ἐπιπρητῆνε ς· ὅθεν καὶ παροιμία, Αἰγὸς ἐπιπρητῆνος ἐρυθροῦ πήρη ἀρίστη. Ἰωνικοὶ δέ τινες καὶ ἀττήγους καλοῦσιν ἡλικίαν τινὰ τῶν ἀρρένων.“ Εἶτα εἰπὼν περὶ ἰονθάδος Ὁμηρικοῦ τοῦ ἐν τοῖς ἑξῆς, ὅτι ἐφ’ ἡλικίας τινὸς καὶ μεγέθους αὐτό

φησιν ὁ ποιητής, ἐπάγει ὅτι „Τῶν δὲ προβάτων τὰ μὲν τέλεια ὄϊες καὶ κριοί καὶ ἀρνειο ί, τὰ δὲ νέα ἄρνες καὶ ἀμνο ί· ἔνιοι δέ, φησί, καὶ φαγίλους καλοῦσιν.“ Ἐπὶ δὲ τούτοις σποράδην παραδίδωσιν, ὅτι τε τὸ ἐξ ἵππου πατρὸς καὶ ὄνου μητρὸς γεννηθὲν γίννος ἐκαλεῖτο [ἀγεννὴς ὢν τὸ μέγεθος], καὶ ὅτι πολλάκις τοὺς ὄνους κάνθωνας καὶ κανθηλίους καλοῦσιν. „ Ἀστράβαι δέ, φησίν, οἱ καταμόνας σωματηγοῦντες ἡμίονοι, καὶ ἀστραβηλάται οἱ αὐτοὺς ἐλαύνοντες· ὑποζυγίαι δὲ οἱ ὑφ’ ἁμάξαις ζευγνύμενοι. Βοῶν δέ, φησί, ταῦροι μὲν οἱ τέλειοι καὶ ἐνόρχαι, ὧν οἱ χαλεπώτατοι καὶ δι’ ἀκμὴν μονάζοντες ἀτιμαγέλαι καλοῦνται· αἱ δὲ θήλειαι βόες μόνον, τὰ δὲ νέα δαμάλαι καὶ δαμάλιες καὶ μόσχοι καὶ πόριες καὶ πόρτιες καὶ πόρτακες “ Λέγει δὲ καὶ ὅτι κατὰ τὴν δάμαλιν Σοφοκλῆς ἔφη γηγενῆ βούβαλιν, καὶ Αἰσχύλος· λεοντοχόρταν βούβαλιν νεαίρετον. καὶ ὅτι αἶγες καὶ ὄϊες θήλειαι κέρατα πολλάκις ἔχουσαι κεράδες καλοῦνται. Aelia n .

5 N. A. VII, 47: Τῶν ἀγρίων ζώων τὰ ἔκγονα τὰ νέα διαφόρως ὀνομάζεται· καὶ τά γε πλείω διπλῆν τὴν ἐπωνυμίαν ἔχει. Λεόντων γοῦν σκύμνοι καὶ λεοντιδεῖς ὀνομάζονται, ὡς Ἀριστοφάνης ὁ Βυζάντιος μαρτυρεῖ. Παρδάλεων δὲ σκύμνοι τε καὶ ** ἄρκηλοι · εἰσὶ δὲ οἵ φασι γένος ἕτερον τῶν παρδάλεων τοὺς ἀρκήλους εἶναι. Θώων δὲ μόνοι σκύμνοι φιλοῦσι καλεῖσθαι, καὶ τίγρεων ὁμοίως, καὶ μυρμήκων δὲ καὶ πανθήρων. Ἔοικε δὲ καὶ τὰ τῶν λυγγῶν ἔκγονα ὁμοίως ὀνομάζεσθαι· ἐν γοῦν τοῖς Λάσου λεγομένοις διθυράμβοις οὕτως εὑρίσκεται σκύμνος εἰρημένον τὸ βρέφος τὸ τῆς λυγγός. Πιθήκων δὲ ἀκούομεν σκύμνους τε καὶ πιθηκιδεῖς τοὺς αὐτούς· βουβαλίδων δὲ πώλους · εἰ δὲ καὶ ὀρύγων, οὐκ ἂν θαυμάσαιμι, ὁ αὐτὸς Ἀριστοφάνης φησίν. Κυνῶν δὲ καὶ λύκων σκύλακες καλοῖντ’ ἄν, ἦ δ’ ὅς· ἤδη δὲ καὶ λυκιδεῖς καλοῦνται οἱ τῶν λύκων· ὁ δὲ τέλειος καὶ μέγιστος καλοῖτο ἂν μονόλυκο ς. Τῶν μὲν δὴ λαγῶν λαγιδεῖ ς· ὁ δὲ τέλειος, καὶ πτῶκα αὐτὸν φιλοῦσιν ὀνομάζειν οἱ ποιηταί, Λακεδαιμόνιοι δὲ ταχίνα ν. Ἀλωπέκων δὲ τὰ ἔκγονα ἀλωπεκιδεῖς κέκληνται· αὐτὴ δὲ ἡ μήτηρ καὶ κερδώ καὶ σκαφώρη καὶ σκινδαφό ς. Τῶν δὲ ἀγρίων ὑῶν τὰ τέκνα μολόβρια ὀνομάζουσιν· ἀκούσαις δ’ ἂν τοῦ Ἱππώνακτος καὶ αὐτὸν τὸν ὗν μολοβρίτην που λέγοντος· καλοῦνται δὲ καὶ τῶν ὑῶν μονιοί τινες. Τάς γε μὴν δορκάδας καὶ ζόρκας καὶ πρόκας εἰώθασιν ὀνομάζειν. Τῶν δὲ ὑστρίχων καὶ τῶν τοιούτων ἀγρίων τὰ ἔκγονα ὄβρια καλεῖται· καὶ μέμνηται Εὐριπίδης ἐν Πελιάσι τοῦ ὀνόματος, καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι καὶ Δικτυουλκοῖς. Τὰ δὲ ἔτι ἐν τῇ γαστρὶ ἔμβρυα καλοῦσι· τὰ δὲ τῶν ὀρνίθων καὶ τὰ τῶν ὄφεων καὶ τῶν κροκοδείλων ἔνιοι ἔμβρυα καὶ ψακάλους καλοῦσιν, ὧν εἰσὶ καὶ Θετταλοί. Τὰ δὲ πρόσφατα ὀρνύφια νεοττοὺς καὶ ὀρταλίχους, ἀλεκτρυόνων τε ἀλεκτοριδεῖς λέγουσι· καὶ τόν γε πέρυσιν περυσινὸν ὀνομάζουσιν, ὡς καὶ τὸν οἶνον. Καὶ αὖ πάλιν χηνιδεῖς καὶ χηναλωπεκιδεῖς καὶ τὰ τούτοις ὅμοια κατὰ τὰ αὐτὰ σχηματίζουσιν. Ἀχαῖος δὲ ὁ τῆς τραγῳδίας ποιητὴς τὸν νεοττὸν τῆς χελιδόνος μόσχον ὠνόμασεν. Περὶ συγγενικῶν ὀνομάτων.

6 Photius p. 318, 18: Οἰκείαν· τὰ τοιαῦτα παρεσημειοῦτο Ἀριστοφάνης πρὸς τὴν οἰκείαν· ὅτι οὐ κυρίως κέχρηνται τῷ ὀνόματι· οἰκείους γὰρ ἐκτίθεται ἐν τῷ περὶ συγγενικῶν τοὺς κατ’ ἐπιγαμίαν παρεξηγμένους ἔξωθεν· ὁ δὲ Μένανδρος ἐνίοτε ἐπὶ τῶν συγγενῶν λέγει, οὐχ ὡς ἡμεῖς ἐπὶ τῶν κατ’ ἐπιγαμίαν φίλων. [ὁ γὰρ τὴν ἐπιγαμίαν λαμβάνων ἐστὶ συγγενής· οἰκεῖος δὲ ὁ συγγενής.] Auctor epistolae inscriptae Πρὸς Ἀλέξιον τὸν Κομνηνὸν περὶ τῆς ὁμαίμων φωνῆς ἐρωτήσαντα in Cra m.

7 An. Ox. III. (p. 192. sqq.) postquam fontes quibus usurus esset ambitiose apernit (p. 193, 18.): τοῦ δὲ ὁμαίμου ἢ καὶ ὁμαίμονος ἀπό τε τῶν βίβλων Ἀριστοφάνους τοῦ γραμματικοῦ καὶ Σόλωνος τοῦ νομοθέτου καὶ τῶν ἄλλων σοφῶν ποιήσομαί σοι τὰς μαρτυρίας, ἵν’ ἔχοις διὰ τούτων ἀποταφρεύειν τὰς τοῦ πρωτονοταρίου ἐπεμβολάς—ac deinceps de αἶμα inepta quaedam interposnit, haec profert (p. 194, 16.): Ὁ πολυμαθέστατος Ἀριστοφάνης, οὐχ ὁ τὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κωμῳδίας συγγράψας, ἀλλ’ ὁ γραμματικώτατος, ἐν τῷ Συγγενικῷ περὶ διαφορᾶς τῶν ἀδελφῶν διαλαμβάνων, ἐν οὐδὲ μιᾷ τούτων τέταχε τοὺς ὁμαίμους, ἀλλὰ κοινὸν οἶδε τοῦτο κατηγορούμενον συγγενείας ὄνομα· τοὺς μὲν γνησίους καλεῖ ὅσοι ἐκ τῶν αὐτῶν ἔφυσαν γονέων, τοὺς δὲ ὁμοπατρίους ὅσοι πατέρα μὲν τὸν αὐτὸν ἔσχον, ἐκ διαφόρων δὲ μητέρων ἐγένοντο· οὓς καὶ ἀμφιμητρίους τινὲς ὀνομάζουσι· λιποῦσα τὸν σὸν ἀμφιμήτριον κάσιν, φησί που Λυκόφρων ὁ ποιητής (v. 19.). εἴπερ οὖν τοὺς ἐκ μιᾶς αὔλακος φύντας, ἑτέρων δὲ γεωργῶν, ὁμογαστρίους οἶδε κατονομάζειν καὶ συγγόνους μὲν κοινῷ ὀνόματι καὶ αὐταδέλφους καλεῖ τοὺς ἀδελφούς, τὴν δὲ ὅμαιμος λέξιν ἐπὶ πᾶν διατείνει τὸ γένος· καὶ καλεῖται μὲν ἂν τούτῳ τῷ λόγῳ οὐ μόνον ὁ ἀδελφὸς ὅμαιμος ἢ ὁμαίμων, —ἀλλὰ καὶ ὁ ἀνεψιὸς καὶ ὁ υἱδοῦς καὶ ὁ ἀδελφιδοῦς καὶ ἵνα νομικώτερόν σοι περὶ τούτων ἐπεξέλθοιμι, οἱ ἀνιόντες καὶ οἱ κατιόντες καὶ οἱ ἐκ πλαγίου λεγόμενοι συγγενεῖς πάντες ὅμαιμοι προσαγορευθήσονται. Eus t . [25]

8 Il. p. 648, 53: Ἰστέον δὲ ὅτι ἐν τοῖς Ἀριστοφάνους τοῦ γραμματικοῦ Συγγενικοῖς εὕρηταί τις διαφορὰ τοῦ ἑκυρός καὶ πενθερός. φησὶ γὰρ ὡς πενθερὸς μὲν ὁ τῆς γυναικὸς πατὴρ τῷ νυμφίῳ καὶ πενθερὰ ἡ μήτηρ, ἑκυρὸς δὲ ὁ τοῦ ἀνδρὸς πατὴρ τῇ νύμφῃ καὶ ἑκυρὰ ἡ μήτηρ, οἷον τῇ Ἑλένῃ, φησίν, ὁ Πρίαμος καὶ ἡ Ἑκάβη. ἔνθα κεῖται καὶ τό, τινὲς δὲ ποιηταὶ καταφέρονται πολλάκις ἐπὶ τὸ καὶ τοὺς πενθεροὺς γαμβροὺς ὀνομάζειν. λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι ἡ μὲν Κασάνδρα τῇ Ἑλένῃ γάλως ἐστίν, ὁ δὲ Ἕκτωρ δαή ρ, αὐτῆς δὲ [ἤγουν τῆς Ἑλένης] ὄνομα οὐχ εὑρίσκεται· καταλείπεται δή, φησίν, ὁριστικῷ λόγῳ ἀδελφοῦ λέγεσθαι γυνή. εἰ δέ τις οἴεται νυὸν αὐτὴν καλεῖσθαι Κασάνδρας καὶ Ἕκτορος, ἀλλ’ ὁ αὐτὸς γραμματικός φησιν, ὅτι νυὸς ὡς ἐπὶ πλεῖστον υἱοῦ γυνὴ τῷ πατρὶ καὶ τῇ μητρί, ὡς ἡ Ἑλένη, φησί, τῷ Πριάμῳ καὶ τῇ Ἑκάβῃ. Eus t . [15]

9 Il. p. 316, 10: Μήτρως μὲν εἴρηται καθ’ ὁμοιότητα τοῦ πάτρως· ὡς γὰρ παρ’ Ἡροδότῳ πάτρως ὁ ἀπὸ πατρικοῦ ἀδελφοῦ θεῖος, οὕτω νῦν ὁ ἀπὸ μητρικοῦ μήτρως· οἱ δὲ μεθ’ Ὅμηρον καὶ τοὺς ἁπλῶς κατὰ πατέρα προγόνους οὕτω καλοῦσιν, ὡς δηλοῖ καὶ ὁ ἐν τῷ περὶ συγγενικῶν ὀνομάτων ὧδέ πως διαστείλας· Τήθη ἐστὶν ἡ τοῦ πατρὸς μήτηρ, ὡς ἡ Ἀερόπη τῷ Ὀρέστῃ, καὶ ἡ τῆς μητρὸς δὲ μήτηρ, ὡς τῷ αὐτῷ ἡ Λήδα. [ταύτας δὲ μάμμας τινές φασι καὶ μαίας.] θεῖος δ έ, ὁ καὶ νέννος κατά τινας, πατρὸς ἀδελφός· ὁμοίως δὲ καὶ μητρὸς ἀδελφός· [καὶ οὕτω μὲν ἡ τήθη· τηθὶς δὲ ἀνάλογόν τι τῷ θείῳ· πατρὸς γὰρ ἀδελφὴ ἢ μητρός.] τούτους δὲ οἱ μὲν πατραδέλφους καὶ μητραδέλφους, οἱ δὲ πάτρωας καλοῦσι καὶ μήτρωα ς· Πίνδαρος δὲ οὐκ ἀδελφούς, ἀλλὰ γονέας μητρὸς μάτρωας ἔφη· Στησίχορος δὲ πάτρωα τὸν κατὰ πατέρα πρόγονον εἶπεν, ἔνθα παρ’ αὐτῷ Ἀμφίλοχος ἔφη τὸ „πάτρωα ἐμὸν ἀντίθεον Μελάμποδα“. [Μελάμπους γάρ, οὗ Ἀντιφάτης, οὗ Ὀικλῆς, οὗ Ἀμφιάραος, ὅθεν Ἀμφίλοχος· ὅρα οὖν οἷος ὁ Μελάμπους ἦν πάτρως τῷ Ἀμφιλόχῳ.] οὕτω πόρρωθεν. [ Ἀδελφιδοῖ λέγονται οἱ παῖδες τῶν ἀδελφῶν, ἀνεψιοί δὲ οἱ ἐξάδελφοι· ὥστε ὁ μὲν ἀνεψιὸς πρὸς ἀνεψιὸν λέγεται, ὁ δὲ ἀδελφιδοῦς πρὸς θεῖον. [15]

10 ] Καὶ ἀνεψιαδοῦς, ὥσπερ ἀδελφιδοῦς, ὁ τοῦ ἀνεψιοῦ υἱός· καὶ ἀνεψιαδῆ ὁμοίως· ἐξανέψιοι δὲ οἱ τῶν ἀνεψιῶν παῖδες, οὓς νῦν λέγομεν διςεξαδέλφους. Ὅτι δὲ καὶ συγγενικόν ἐστιν ὄνομα ἡ νύμφ η, καὶ ὅτι καὶ προβεβηκυῖάν τινα τῇ ἡλικίᾳ νύμφην ὁ ποιητὴς καλεῖ, οἷον· „δεῦρ’ ἴθι, νύμφα φίλη“, καὶ ὅτι παρώνυμος τῇ νύμφῃ ὁ νυμφίος, καὶ ὅτι ὁ παράνυμφος εἰκαιότερον οὕτω λέγεται, ὀρθότερον γάρ ἐστι παρανυμφίον καλεῖσθαι τὸν συναπάγοντα τῷ νυμφίῳ τὴν νύμφην ἢ πεζῇ ἢ ἐφ’ ἁμάξης ὡς παρ’ Ἀθηναίοις, ὑφ’ ὧν καὶ πάροχος καλεῖται διὰ τὸ μόνον αὐτὸς συναναβαίνειν καὶ ὀχουμένῳ τῷ νυμφίῳ παροχεῖσθαι, [καὶ ὅτι νυμφεῖον περιεκτικῷ λόγῳ ὁ τόπος ἐν ᾗ οἱ νυμφίοι,] καὶ ὅτι νυμφαγωγός ὁ τὴν νύμφην ἄγων ἐκ τῆς πατρικῆς οἰκίας τῷ νυμφίῳ καὶ μάλιστα ὁ τὴν κατὰ δεύτερον γάμον, καθ’ ὃν οὐ θέμις τῷ νυμφίῳ μετιέναι, ἀλλ’ ἀποστέλλεσθαι φίλον, ὃς οὕτω προσονομάζεται, δηλοῦσιν οἱ παλαιοί. [10]

12

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Eus t . II. p. 589, 19: Κυρίως μέντοι χήρα γυνὴ ἡ μετὰ θάνατον ἀνδρὸς ἢ καὶ γάμου διάλυσιν μηδενὶ συνοικοῦσα. οὕτω δὲ χῆρος ἀνὴρ ὁ μηκέτι γυναῖκα ἔχων, ὡς ὁ γραμματικὸς Ἀριστοφάνης φησί, λέγων καὶ ὡς χηρωστής ὁ ἀγχιστεύς. Περὶ προσφωνήσεων.

13 Eus t . Il. p. 1118, 8: Σημείωσαι δὲ καὶ ὅτι κεῖται καὶ ὧδε τὸ ἄττα, προσφώνησις πτώσεως κλητικῆς ἀπὸ νεωτέρου τοῦ Μενελάου πρὸς γέροντα τὸν φαινόμενον διὰ τῆς Ἀθηνᾶς Φοίνικα. φησὶ γάρ· Φοῖνιξ, ἄττα, γεραιὲ παλαιγενές. εἰ δὲ καὶ ἀλλαχοῦ περὶ τῆς τοιαύτης δεδήλωται λέξεως, ὅμως οὐκ ἀνένδεκτόν ἐστιν ἐνταῦθα δηλῶσαι, ὅτι ὁ γραμματικὸς Ἀριστοφάνης γράψας, ὡς εἰσὶ προσφωνήσεις διάφοροι παιγνιωδέστεραί τινες καὶ ὑποκοριστικαί, ἐπάγει, οἷον ἄππ α , πάππ α , μάμμ α , μάμμ η , μαμμί α , τέττ α , ἄττ α. οὕτω δέ, φησί, καὶ πατέρας μὲν διαρρήδην τοὺς πρεσβυτέρους καλοῦσι, κἂν ὦσιν ἀλλότριοι, μητέρας δὲ τὰς πρεσβυτέρας, τὴν ἡλικίαν εἰκάζοντες, τὰς δὲ ἔτι πρεσβυτέρας μαίας καὶ τήθα ς. [οὕτω δὲ καὶ τὰς ταῖς ὠδινούσαις παρεστώσας πρὸς θεραπείαν μαίας καλοῦσιν, εἰ καὶ νεώτεραι εἶεν καὶ μὴ πρεσβύτιδες καὶ διὰ τοῦτο πολύπειροι.] ἐξ ἐναντίου δέ, φησίν, οἱ πρεσβύτεροι τοὺς νεωτέρους παῖδας καὶ τέκνα καλοῦσι, καὶ Ὅμηρος δέ, φησί, τοιαύταις προσφωνήσεσιν ἀποθεραπεύων τὴν ἡλικίαν, μαῖαν τὴν πρεσβῦτιν λέγει καὶ τὸν πρεσβύτην πατέρ α. Eus t .

14 Il. p. 659, 46: Ἐν δὲ τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους κεῖται καὶ ὅτι ἠθείους τοὺς ὁμοτρόπους φαμὲν τῷ τὰ αὐτὰ ἤθη ἔχειν καὶ ἐν ὁμοίοις ἤθεσι καταγεγονέναι. παρ’ ἐνίοις γάρ, φησί, τὰ ἔθη ἤθη λέγεται. τινὲς δέ, φησί, τὴν φωνὴν ἐκ συγγενοῦς λέγουσι πρός τινα πρεσβύτερον φιλοφρόνως ἀναφέρεσθαι· ἀντισπᾷ δέ πως τὴν ἔννοιαν Εὐμαῖος λέγων περὶ Ὀδυσσέως τὸ „ἀλλά μιν ἠθεῖον καλέω.“ Περὶ βλασφημιῶν.

15 Eus t . Od. p. 1597, 28: κήλων καὶ λάγνης ἢ λάγνος διὰ τοῦ ο, καὶ οἰφόλης καὶ τιτάν καὶ μάχλος· ὧν αἱ χρήσεις παρὰ τοῖς παλαιοῖς, οἵ φασιν, ὡς κήλων μὲν πεποίηται ἀπὸ τῶν ὀχευτῶν ὄνων. Ἀρχίλοχος· ὥστ’ ὄνου Πριηνέως κήλωνος ἐπλήμυρον. [ οἰφόλης δ έ, ὁ καὶ φιλοίφας, ἀπὸ τοῦ οἴφειν, ἢ οἴφεσθαι, ὅπερ ἐστὶ περαίνειν ἢ περαίνεσθαι.] τιτάν δὲ ἀπὸ τοῦ τιταίνειν ἤγουν ἐντείνειν. [ λάγνος δὲ παρὰ τὸ λα– ἐπιτατικὸν μόριον καὶ τὸ γόνος, οἱονεὶ λαγόνης ὁ λίαν πολύγονος.] μάχλος δέ, [ἀφ’ οὗ καὶ ἡ κατὰ Πάριν μαχλοσύνη] ὁ δίυγρος ὑπὸ καταφερείας, ὅθεν, φασί, καὶ Αἰσχύλος (fr. 378.) τὴν ῥεομένην ἄμπελον μάχλον ἔφη. Eus t .

16 Il. p. 827, 28: νῶροψ μὲν χαλκὸς ὁ ἀποστερῶν τοῦ ὁρᾶν, νῶροψ δὲ ἄλλως ἀνὴρ ὁ ἐστερημένος τοῦ ὁρᾶν. ἡ δὲ τοιαῦτα νομοθετήσασα βλασφημία καὶ τὸν ἐπαινετῶς ἀρρενωπὸν ἀρρενῶπα ἔφη παρονομάσασα ψογερῶς καὶ οὕτω σκώψασα τὸν ἀνδρόγυνον [καὶ ὡς εἰπεῖν ἀρρενοπίπην πρὸς ὁμοιότητα τοῦ παρθενοπίπης καὶ πυρροπίπης]. οὕτω δὲ καὶ Αἰσχύλου μάχλον, φασίν, ἄμπελον εἰπόντος τὴν ῥεομένην, ἡ κωμῳδία μάχλον εἶπε τὸν ὑπὸ καταφερείας δίυγρον. καὶ Πανὸς δὲ λεγομένου τοῦ κατὰ κλῆσιν δαιμονίαν, ἕτεροι ἀπ’ ἐκείνου πᾶνά φασι τὸν καταφερῆ καὶ συνουσιαστικόν, ὅθεν παρὰ Καλλιμάχῳ τὸ πᾶν (l. Πὰν) τρύπανον αἰπολικόν. Eus t .

17 Il. p. 862, 42: κωμικὴ λέξις ὁ νώθουρος, ἤγουν ὁ νωθὴν ἔχων τὴν οὐράν, φασίν, ἐν τῷ συγγίνεσθαι. [οὕτω γὰρ ἔλεγον τὸ κατ’ ἄνδρας αἰδοῖον.] ὁ δὲ τοιοῦτος ἀνὴρ καὶ ἄστυτος ἐλέγετο, καθὰ καὶ οἶκος ἄστυτος ὁ μὴ ἔχων ἄνδρα ὃς ἔχοι ἂν λέγειν τὸ „στύομαι τριέμβολον“, ἀλλὰ μᾶλλον τὸ „Ἀστυάναξ γέγονα.“ ἡ δὲ εἰρημένη οὐρὰ καὶ ἀπομύζουριν παρήγαγε γυναῖκα τὴν αἰσχροποιόν [παρὰ τὸ μυζᾶν ἤγουν θηλάζειν οὐράν]. εἰ δὲ καὶ πανδοσία ἡ τοιαύτη ἐλέγετο πρὸς παίγνιον τῆς Πανδώρας, καὶ βορβορόπη δὲ ὡς ἀκάθαρτος, παρὰ τὸν βόρβορον καὶ τὴν ὀπήν, ἄλλου ταῦτα λόγου. Scho l .

18 Ar. Av. 1620: Μισητίαν δὲ οἱ μὲν περὶ Ἀριστοφάνη τὴν εἰς τὰ ἀφροδίσια ἀκρασίαν· καὶ τὸ „Περὶ σφυρὸν παχεῖα μισητὴ γυνή“ οὕτως ἐξηγοῦνται. μήποτε μέντοι γενικώτερόν ἐστιν ἀπληστία, ὃ καὶ νῦν ἐμφαίνεται. Respicit Eus t . Od. p. 1650. sq.: αὐτὸ δέ γε τὸ μισεῖν κοινότερον ἐπὶ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐχθραίνειν τεθὲν ἡ κωμικὴ σεμνότης ἐπὶ μίξεων ἔθετο ἀσέμνων. Ἀριστοφάνης γοῦν μισητίαν ἐπὶ κατωφερείας ἔφη ἤγουν ῥοπῆς ἀσχέτου τῆς περὶ μίξεως. ἄλλοι δὲ μισήτην βαρυτόνως πρὸς διαστολὴν τῆς ὀξυτονουμένης τὴν κοινὴν καὶ ῥᾳδίαν, λέγοντες καὶ χρῆσιν αὐτῆς εἶναι παρὰ Κρατίνῳ καὶ Σώφρονι. χρᾶται δὲ αὐτῇ καὶ παροιμία ἐν τῷ „Περὶ σφυρὸν παχεῖα μισήτη γυνή.“ Eus t .

19 Od. p. 1915, 16: ἐν δὲ τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους φέρεται ταῦτα· Κόλλοπα τὸ παχὺ δέρμα φασὶ λέγεσθαι καὶ τὸν τῶν ὀργάνων κόλλαβον, παρατιθέμενοι Ὅμηρον καὶ ἄλλους τινάς. ἕτεροι δὲ οὕτω καλοῦσι τὸν περιτρέχοντα καὶ ἑταιροῦντα, ὡς καὶ Εὔβουλος ἐν τῷ· Καλλίστρατος ἔστι τις· οὗτος οὖν μεγάλην πυγὴν εἶχεν, ὦ Χαριάδη, καὶ καλήν. τοῦτον καταλεκτέον ἐς τοὺς κόλλοπας, τοὺς ἐκδρομάδας. Eus t .

20 Od. p. 1522, 54: Ἰστέον δὲ ὅτι τὸν λάρον τῇ εὐηθείᾳ ἡ ὕστερον προσοχὴ παροιμιακῶς ἀποκληροῖ· ὅθεν καὶ λάρους τοὺς εὐήθεις φαμέν. οὕτω δὲ καὶ κέπφους, ἀπὸ κούφου, ὥς φασιν οἱ παλαιοί, ὀρνιθαρίου καὶ εὐμεταχειρίστου, καθὰ καὶ παρὰ τῷ κωμικῷ ἔστιν εὑρεῖν. καὶ ὧτοι δὲ οἱ αὐτοί, ἀπὸ ὀρνέου μιμηλοῦ καὶ εὐεξαπατήτου, ὡς ἀλλαχοῦ σαφῶς δηλοῦται. διὸ καὶ ἡ κωμῳδία σκώπτουσα τοὺς Ἀθηναίους, ὦ μόνοι ὧτοι τῶν Ἑλλήνων, ἔφη, λοιδοροῦσα ἐκείνους ὡς ῥᾷον ἀπατωμένους οἷς ἀκούουσιν. Fragm.

21 Paris. §. 21: Ἄγγαρο ς· ὁ ἐκ διαδοχῆς γραμματοφόρος, ὡς Ἡρόδοτος ἐν ὀγδόῳ. καὶ οἱ εὐτελεῖς δὲ καὶ ἄφρονες οὕτως ὠνομάζοντο, ὡς Μένανδρος. Eus t .

22 Od. p. 1761, 22: Δῆλον δὲ ὅτι τε λέμφος [διὰ τοῦ φ, οὐ μὴν διὰ τοῦ βῆτα] ἡ πεπηγυῖα μύξα κατὰ τοὺς παλαιούς [ἐκ τῶν μυκτήρων]· ὅθεν καὶ λέμφος ὁ εὐήθης, ἐπειδή, φασίν, εἰς μωρίαν διέσκωπτον τοὺς ῥεομένους ἐκ τῶν μυκτήρων, ὅθεν καὶ ἀπομύξαι τὸ ἐξαπατῆσαι, καὶ ὅτι καὶ τὰ μυξώδη κρέα λέμφοι ἐκαλοῦντο, καὶ ὅτι ὥςπερ ὁ λέμφος ὁ προσεχῶς ῥηθεὶς καινὴ καὶ ἀσυνήθης λέξις ἐστίν, οὕτω καὶ ὁ παρὰ τῷ κωμικῷ Κρατίνῳ σάννα ς. αὐτὸς (l. οὗτος) μέντοι οὐ τὸν εὐήθη ἁπλῶς δηλοῖ, ἀλλὰ τὸν μωρόν [ὃν ἴσως ἡ κοινὴ γλῶσσα τζαννὸν λαλεῖ. δόξοι δ’ ἂν εἰλῆφθαι ἡ λέξις ἀπὸ τῶν Ἀσιανῶν Σάννων, οὓς οἱ ἰδιῶται Τζάννους καλοῦσι, βαρβαρικοὺς ὄντας καὶ ὡς εἰκὸς εὐήθεις δι’ ἀπαιδευσίαν]. ὁ δὲ τὸν σάνναν τοῦτον παρασημηνάμενος Ἀριστοφάνης ὁ γραμματικὸς καὶ ἄλλας ἐκτίθεται καινοφώνους λέξεις, οἷον ἄσιλλαν κτλ. (vide fr. XLIII. sqq.) Eus t .

23 Il. p. 725, 29: Τοιαῦτα δὲ καὶ ἅπερ τῶν τις παλαιῶν ἔθετο παραδείγματα βλασφημιῶν τῶν ἀπὸ ἀριθμοῦ· οἷον τρισεξώλης ὁ πάνυ ἐξώλης, καὶ τριπέδων ὁ πολλάκις πεδηθεὶς κακοῦργος δοῦλος, ὃς καὶ πέδων πέδωνος ἐν ἁπλότητι λέγεται, καὶ στίγων εἴτουν στιγματίας. φέρει δὲ καὶ ἀπὸ χρήσεως τοῦ κωμικοῦ τὸ „παλίμβολος τρίπρατος “ καὶ πολλάκις ἀπημπολημένος. Σοφοκλῆς δὲ τρίδουλον τὸν ἐκ προγόνων δοῦλον ἔφη, Ἀνακρέων δὲ τριςκεκορημένον τὸν πολλάκις ἐκσεσαρωμένον, Ἀρχίλοχος δὲ τρισοιζυρὴν πόλιν ἔφη τὴν Θάσον, Ἱππῶναξ δὲ τὸν τρία ὑπεραναβὰς ἀριθμὸν ἑπτάδουλον ἔφη τινά. Eus t .

24 Il. p. 741, 21: γράφουσιν οἱ παλαιοὶ καὶ ταῦτα· Εἰσὶ βλασφημίαι καὶ ἀπὸ ἐθνῶν καὶ πόλεων καὶ δήμων πολλαὶ ῥηματικῶς πεποιημέναι· ἐθνῶν μὲν οἷον κιλικίζειν καὶ αἰγυπτιάζειν τὸ πονηρεύεσθαι, καὶ κρητίζειν τὸ ψεύδεσθαι· ἐκ πόλεων δὲ οἷον λεσβιάζειν τὸ αἰσχροποιεῖν. εἶτα παραγαγόντες Φερεκράτους χρῆσιν ἐν ἰάμβῳ τὸ „Δώσει δὲ σοὶ γυναῖκας ἑπτὰ Λεσβίασ“, ἐπάγουσιν ἀμοιβαῖον τὸ „Καλόν γε δῶρον, ἔπτ’ ἔχειν λαικαστρίασ“ [ὡς τοιούτων οὐσῶν τῶν Λεσβιῶν γυναικῶν]. ἐκ δήμων δὲ βλασφημία τὸ αἰξωνεύεσθαι ἤγουν κακολογεῖν. [Αἰξωνεῖς γὰρ δημόται Ἀττικοὶ σκωπτόμενοι ὡς κακολόγοι, καθὰ καὶ οἱ Σφήττιοι ἐπὶ ἀγριότητι.] Ἀττικαὶ λέξεις.

25

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Hero d . περὶ διχρόνων in Crameri An. Ox. III. p. 291, 9: Τὰ εἰς ων λήγοντα καθαρὸν συγκριτιτὰ ὁπότε παραλήγοιτο τῷ ι, ἐκτεταμένῳ αὐτῷ παραλήγεται· καλλίων, ἡδίων, βελτίων, γλυκίων, κακίων. Ἀριστοφάνης δὲ ἐν Ἀττικαῖς διαλέξεσιν Ἀττικοὺς ἱστορεῖ προφέρεσθαι (ἐκτεταμένως). Eadem fere Draco p. 56: Καλλίων μακροπαραληκτεῖ· τὰ γὰρ εἰς ων λήγοντα καθαρὸν συγκριτικὰ ὁπότε παραλήγοιτο τῷ ι, ἐκτεταμένον αὐτὸ ἔχει· καλλίων, ἡδίων, βελτίων, γλυκίων, κακίων. Ἀριστοφάνης δὲ ἐν Ἀττικαῖς διαλέξεσιν Ἀττικοὺς ἱστορεῖ προφέρεσθαι ἐκτεταμένως. Cf. Regg. Prosod. Herm. §. 87. p. 440: Τὰ εἰς ων λήγοντα καθαρὰ συγκριτικὰ ὁπότε παραλήγονται τῷ ι, ἐκτεταμένῳ αὐτῷ παραλήγονται· καλλίων —κακίων. Hero d .

26 περὶ διχρόνων in Cram. An. Ox. III. p. 285: Τὰ μέντοι εἰς ιξ μονοσύλλαβα συστέλλει τὸ ι, ἔχοντα δύο σύμφωνα πρὸ τοῦ ι· στίξ, πλίξ, θρίξ· τὸ μέντοι ἴξ καὶ φρίξ ἐκτείνεται. Τὰ μέντοι εἰς ιξ λήγοντα ὑπὲρ μίαν συλλαβὴν πάντα συστέλλει τὸ ι· ἐπὶ μέντοι γενικῆς πῆ μὲν φυλάσσει τὸ ι συνεσταλμένον, πῆ δὲ ἐκτείνει· καί φασι τήρησίν τινα εἶναι τοιαύτην, ὡς τὰ ἔχοντα πρὸ τέλους μακρὰν ἔχει ἐν τῇ γενικῇ ἐκτεινόμενον τὸ ι· φοῖνιξ, βέμβιξ, πέμφιξ, τέττιξ, σκάνδιξ, πέρδιξ, χοῖνιξ. Πτολεμαῖος δὲ ὁ Ἀσκαλωνίτης φησίν, ὡς τῆς πέρδικος καὶ χοίνικος γενικῆς ἡ μέση συστέλλεται, πεισθεὶς Ἀριστοφάνει τῷ γραμματικῷ καὶ τοῖς οὕτω χρησαμένοις ποιηταῖς διὰ τὸ μέτρον· ἀλλὰ ταῦτα διὰ τὸ μέτρον ἐγένετο· ἔστι γὰρ αὐτὰ εὑρεῖν ἐκτεταμένα πολλάκις. Athe n .

27 XIV. p. 619. B: ᾔδοντο δὲ Ἀθήνησι καὶ οἱ Χαρώνδου νόμοι παρ’ οἶνον, ὡς Ἕρμιππός φησιν ἐν ἕκτῳ περὶ νομοθετῶν. Ἀριστοφάνης δ’ ἐν Ἀττικαῖς φησι λέξεσιν· „ Ἱμαῖος ᾠδὴ μυλωθρῶν· ἐν δὲ γάμοις ὑμέναιο ς· ἐν δὲ πένθεσιν ἰάλεμος · λίνος δὲ καὶ αἴλινος οὐ μόνον ἐν πένθεσιν, ἀλλὰ καὶ ἐπ’ εὐτυχεῖ μολπᾷ κατὰ τὸν Εὐριπίδην.“ Descripsit haec Eust. Il. p. 1164, 8: (αἴλινος) διφορεῖται τῇ σημασίᾳ κατὰ τὸν Ἀθήναιον, εἰπόντα ὡς ἐν γάμοις μὲν ᾠδὴ ὑμέναιος, ἐν δὲ πένθεσιν ἰάλεμο ς , λίνος δὲ καὶ αἴλινος ἔν τε πένθεσι καὶ ἐπ’ εὐτυχεῖ δὲ μολπῇ κατ’ Εὐριπίδην. Erotianus Gloss.

28 Hipp. p. 86. 88. de nomine ἄμβη disputans postquam aliorum interpretationes percensuit, sic pergit: ἡμεῖς δὲ τούτους πάντας παραιτησάμενοι, Βακχείῳ συγκατατιθέμεθα, ὃς ἐν τῷ τρίτῳ φησὶν ἄμβην καλεῖσθαι τὴν ὀφρυώδη ἐπανάστασιν. καὶ γὰρ οἱ Ῥόδιοι ἄμβωνας καλοῦσι τὰς ὀφρυώδεις τῶν ὀρῶν ἀναβάσεις. μέμνηται τῆς λέξεως καὶ Αἰσχύλος καὶ Ἀριστοφάνης ὁ γραμματικὸς ἐν ταῖς Ἀττικαῖς λέξεσι. Erotia n .

29 Gloss. Hippocr. p. 118: Διόπ ῳ· τῷ τῆς νηὸς ἐπιμελητῇ· παρὰ τὸ διοπτεύειν. Ἀττικὴ δὲ ἡ λέξις, κειμένη καὶ παρ’ Ἀριστοφάνει ἐν Ἀττικαῖς λέξεσι, καὶ παρ’ Αἰσχύλῳ ἐν Σισύφῳ καὶ Εὐριπίδῃ ἐν Ἱππολύτῳ. Erotia n.

30 Gloss. Hipp. p. 232: Κρησέρα λέγεται ῥάκος χονδρὸν καὶ ἀραιόν, δι’ οὗ διηθοῦσί τινα ὡς δι’ ἠθμοῦ. μέμνηται καὶ Ἀριστοφάνης ἐν Ἀττικαῖς λέξεσι. Λακωνικαὶ γλῶσσαι.

31 At h . III. p. 77. A: Τὰ δὲ χειμερινὰ σῦκα Πάμφιλος καλεῖσθαί φησι κωδωναῖα ὑπὸ Ἀχαιῶν, τοῦτο λέγων Ἀριστοφάνη εἰρηκέναι ἐν Λακωνικαῖς γλώσσαις. At h .

32 III. p. 83. A. Ἀριστοφάνης δ’ ὁ γραμματικὸς ἐν Λακωνικαῖς γλώσσαις τὰ κοκκύμηλά φησι τοὺς Λάκωνας καλεῖν ὀξύμαλα Περσικ ά, ἅ τινες ἄδρυ α . Hesyc h .

33 I. p. 5: Ἄδδ α· ἔνδεια. Λάκωνες. οὕτως Ἀριστοφάνης ἐν Γλώσσαις. Hesyc h .

34 I. p. 748: Βούθουτον (vulgo Βούθυτον). ὅ τινες ἀμέμαρον. Ἀχαιοὶ δὲ ἰσόχοιρον. Ἀριστοφάνης. Λάκωνες. Hesyc h .

35

Eulogikon public reading copy · View original HTML at eulogikon.org

II. p. 1014: Πουρέακος. κρίκος σιδηροῦς, τετρυπημένος καὶ ἧλον ἔχων ἐν τῷ τρυπήματι στρεφόμενον, ᾧ χρῶνται πρὸς δεσμὸν συῶν. Πουστάκους. ὡς Ἀριστοφάνης φησὶν ἐν ἐξηγήσει Λακωνικῶν. *Fragmenta sedis incertae.

36 Scho l . A r . Av. 1541. de nomine κωλακρέτη ς· Ἀριστοφάνης ὁ γραμματικὸς τούτους ταμίας εἶναί φησι τοῦ δικαστικοῦ μισθοῦ. Ad supplendam Aristophanis doctrinam haec subiunxit nescio quis grammaticus: Οὐ μόνον δὲ τούτου τὴν ἐπιμέλειαν ἐποιοῦντο, ὥς φησιν, ἀλλὰ καὶ τὰ εἰς θεοὺς ἀναλισκόμενα διὰ τούτων ἀνηλίσκετο, ὡς Ἀνδροτίων γράφει οὕτως· „Τοῖς δὲ ἰοῦσι Πυθῶδε θεωροῖς τοὺς κωλακρέτας διδόναι ἐκ τῶν ναυκληρικῶν ἐφόδων ἀργύρια, καὶ εἰς ἄλλο ὅτι ἂν δέῃ ἀναλῶσαι.“ Fragm.

37 Paris. §. 15: Ξένοι λέγονται οἱ ἐξ ἑτέρας πόλεως εἰς ἑτέραν ἐπιδημοῦντες· ἰδίως δὲ πάλιν τινὸς ξένοι, οὓς ἐν τῇ ἰδίᾳ τις ὑπεδέξατο οἰκίᾳ καὶ συγκατέπραξε τὰ χρήσιμα. Ἰδιόξενοι δέ εἰσιν οἱ ἐκ πλείονος χρόνου, τυχὸν δὲ καὶ ἀπὸ πατέρων παραδοχῆς, τηροῦντες ἀλλήλοις ὁμόνοιαν, κἂν τῇ οἰκήσει καὶ ταῖς πατρίσιν ἀλλήλων ἀπέχωσιν, οἳ καὶ διὰ σφραγίδων καὶ ἄλλων συμβόλων ἀλλήλοις δύνανται ὁμιλεῖν καὶ οὓς βούλονται συνιστᾶν. Πρόξενοι δὲ καλοῦνται οἱ κατὰ δόγμα πολιτικὸν προστάται πόλεων ὅλων γινόμενοι καὶ φροντισταί [οὓς καὶ οἱ ἀγνοοῦντες ταῖς ὄψεσι διαπυνθάνονται καὶ ἐπιζητοῦσι]. Δορύξενοι δέ, ὡς εἰκός, οἱ κατὰ τὸν πόλεμον ἀλλήλους φιλοποιησάμενοι. Fragm.

38 Paris. §. 16: Μέτοικος δέ ἐστιν ὁπόταν τις ἀπὸ ξένης ἐλθὼν ἐνοικῇ τῇ πόλει, τέλος τελῶν εἰς ἀποτεταγμένας τινὰς χρείας τῆς πόλεως· ἕως μὲν οὖν ποσῶν ἡμερῶν παρεπίδημος καλεῖται καὶ ἀτελής ἐστιν, ἐὰν δὲ ὑπερβῇ τὸν ὡρισμένον χρόνον, μέτοικος ἤδη γίνεται καὶ ὑποτελής· παραπλησίως δὲ τούτῳ καὶ ὁ ἰσοτελής. Eus t .

39 Il. p. 1246, 10: Ὡς δὲ καὶ λάτρον ὁ ῥηθεὶς μισθὸς ἐλέγετο, δηλοῦσιν οἱ παλαιοί. ὅθεν καὶ λάτρις, ὡς ἐν τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους κεῖται, ὁ ἐπιμίσθιος. ἀλλ' ὅμως, φησίν, ἐπὶ δούλων τέτακται. λέγει δ' ἐκεῖνος καὶ ὅτι θῆτες οἳ ὄντες ἐλεύθεροι μισθοῦ ὑπουργοῦσιν [ὡς καὶ ὁ Ἀπόλλων· ὥστε ταὐτόν ἐστι κατ' ἐκεῖνον θής καὶ μισθωτό ς] . θῆσσα μέντοι παρ' αὐτῷ καινότερον ἄλλο τι δηλοῖ. θῆσσα γάρ, φησίν, ἣν πατὴρ καταλέλοιπε πένης ὤν. αὕτη δέ, φησίν, ἐπὶ τὸν πλησίον τοῦ γένους πορεύεται κατὰ νόμον ἀναγκάζοντα τοῦτο· καὶ ὁ μὴ αἱρούμενος γῆμαι πέντε μνᾶς ἀποτίνει, ὡς ἔταξε Σόλων. ἐν δὲ τοῖς ἐπικαινισθεῖσι νόμοις μετέδοξε τοῦτο ὡς μικρόν, καὶ ἐγένοντο δέκα μναῖ. Eus t .

40 Il. p. 566, 12: Φέρεται δ' ἐν τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους καὶ περὶ οἰκετῶν λόγος, ὅτι οὐ μόνον οἱ κατ' ἀγροὺς ὑπουργοὶ οὕτως ἐλέγοντο, ἀλλὰ καὶ οἱ ἐν οἰκίαις ἐλεύθεροι [ὡς ἂν εἴποι τις οἰκῆται, μεταλήψει τοῦ η]. παράγει δὲ αὐτὸς καὶ παροιμίαν ἐξ Εὐριπίδους λέγουσαν· „ἔνδον γυναικῶν καὶ παρ' οἰκέταις λόγος.“ Eus t .

41 Il. p. 1327, 22: Οἰκότριβες οἱ οἰκογενεῖς δοῦλοι, διὰ τὸ ἐγκεχρονικέναι, ὥς φησιν ὁ γραμματικὸς Ἀριστοφάνης, οἴκῳ καὶ κατατετρῖφθαι· μετενήνεκται δέ, φησίν, ἀπὸ ἱματίων ἢ στρωμάτων ἤ τινων ἄλλων χρονίων σκευῶν. Eus t .

42 Il. p. 877, 49: Προσθετέον δ' ἀναγκαίως ἐνταῦθα καὶ τὰ τοῦ γραμματικοῦ Ἀριστοφάνους, ἔχοντα οὕτω πως. „Αἰπόλων καὶ συβοτῶν καὶ τῶν ἄλλων γένος ὁ νομεύς · οὕτω δὲ καὶ ποιμένων, οἳ καὶ προβατεῖς καλοῦνται καὶ μηλάτα ι· τὸ δὲ κατ' αὐτοὺς πλῆθος ποίμνιον, ὅπερ Ὅμηρος πῶυ καλεῖ, μῆλα δὲ εἰ καὶ κοινότερον τὰ κατὰ τὸ πῶυ, ἀλλ' ὁ ποιητὴς καὶ τὰς αἶγας οὕτω καλεῖ, οἷον· μῆλ', ὀίές τε καὶ αἶγες ἰαύεσκον, καὶ πάλιν· μῆλον ἀγινεῖ, ζατρεφέων αἰγῶν ὅστις φαίνηται ἄριστος. καὶ ἡμεῖς δέ, φησί, μηλωτὴν καλοῦμεν καὶ τὴν αἰγείαν δοράν, τὴν δὲ τῶν προβάτων τινὲς οἰέην, ὅθεν ἡ ᾠα συνήλειπται, οἷον· Ὥρα μάττειν ἐπὶ τοῖς ἱεροῖς καὶ τὴν ᾤαν περιδεῖσθαι περὶ τὴν ὀσφῦν. δοκεῖ δέ μοι, φησίν, ὁ ποιητὴς ἐν τῷ, κειμήλιά τε πρόβασίν τε, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν τῶν ἄλλων τετραπόδων βοσκημάτων κτῆσιν πρόβασιν καλεῖν, οὐ μὴν μόνων τῶν κοινῶς λεγομένων προβάτων.“ εἶτά φησιν ὡς „καὶ Πίνδαρός που τὰς τοῦ Διομήδους ἵππους πρόβατα καλεῖ, τὴν φάτνην αὐτῶν λέγων προβάτων τράπεζαν· οὕτω δέ που, φησί, καὶ ἐπὶ τοῦ Πηγάσου ποιεῖ.“ προφέρει δὲ καὶ Σιμωνίδου χρήσεις, ἐν αἷς βοῦν ἄρρενα ὁτὲ μὲν ταῦρον, ὁτὲ δὲ μᾶλον ἤγουν μῆλον, ὁτὲ δὲ πρόβατον ἐκεῖνος ὀνομάζει, καί τινα χρῆσιν ἑτέραν ταύτην· Μῆλα, βόας κεραοὺς καὶ ὄις καὶ πίονας αἶγας. „Σοφοκλῆς δέ, φησί, δόξειεν ἄν που καὶ τὰ θηρία πάντα μῆλα καλεῖν· τὸν γοῦν Ἀχιλλέα τραφῆναί φησιν ἐν τῷ. Πηλίῳ πᾶν μῆλον θηρῶντα.“ ἄσιλλαν, σκεῦός τι ἰχθυηρόν, οὗ χρῆσις παρὰ Σιμωνίδῃ ἐν τῷ, Πρόσθε μὲν ἀμφ’ ὠμοῖσιν ἔχων τρηχεῖαν ἄσιλλαν, Ἰχθῦς ἐξ Ἄργους ἐς Τεγέην ἔφερε. [25]

44 Προφέρει δὲ τὸ μοιχή καὶ μοιχίς ἀσυνήθη [δι’ ὧν δηλοῦται ἡ μοιχαλίς]. Καὶ τὸ στεγανόμιον, ὃ δηλοῖ, φησί, παρ’ ἡμῖν μὲν τὸν τόπον ἐν ᾧ ἑστιῶνται, παρ’ Ἀττικοῖς δὲ τὸν μισθὸν τοῦ πανδοχείου.

46 Καὶ τὸ ἐπικοκκάζειν ὕβρει, ἣ κατά τινας ἐπικηκάζει ν· ὅθεν παρὰ Ἀριστοφάνει τὸ „ἀντῳδὸς ἐπικοκκάστρια.“ Λέγει δὲ καὶ λαπίζειν παρὰ Σοφοκλεῖ τὸ συρίζειν.

48 Καὶ βαυβᾶν τὸ κοιμᾶσθαι, οἷον· „ἡ δὲ προὐκαλεῖτό με βαυβᾶν μετ’ αὐτῆς.“ ὅθεν, φησί, καὶ παρὰ Κρατίνῳ τὸ „λόγος τις ὑπῆλθ’ ἡμᾶς ἀμαθὴς συοβαύβαλος.“ Συνάπτει δὲ τούτοις ξενικὸν καὶ τὸ ἀρδαλῶσαι ἤγουν μολῦναι, προφέρων καὶ τὸ „τὴν μὲν ἄρδαν ἀπ’ ἐμοῦ σπόγγισον“· καὶ τὸ „Αἰγύπτιος θοἰμάτιον ἠρδάλωσέ μου.

49 “ Παραδίδωσι δὲ καὶ ὅτι τὸ ἐσχάζοσαν παρὰ Λυκόφρονι, καὶ παρ’ ἄλλοις τὸ ἐλέγοσαν, καὶ τὸ „οἱ δὲ πλησίον γενομένων φεύγοσαν“, φωνῆς Χαλκιδέων ἴδιά εἰσιν.

51 Στίμμι ς , ἡ εἰς τὰ ὄμματα χρήσιμος, Αἰγυπτίων μέν ἐστι φωνή· κεῖται δὲ ὅμως καὶ παρὰ Ἴωνι τῷ ποιητῇ ἐν τῷ „Καὶ τὴν μέλαιναν στίμμιν ὀμματογράφον“. Ἔφη δὲ καὶ ὅτι ἡ μαγίς [ἀπὸ τῆς μάζης ἢ τοῦ μαστεύειν ῥηθεῖσα] παράγει τὸν μάγειρο ν , ὃς οὕτω, φησί, λέγεται παρὰ τὸ μαγίδας αἴρειν ἤγουν προσφέρειν.

53 Ἔτι λέγει καὶ δοκόν τὴν δόκησαν καὶ ὑπόληψιν, οἷον· „τῷ γ’ ἐμῷ δοκῷ“, ἤγουν τῇ ἐμῇ δοκήσει. Quae supplentur ex Eus t . Od. p. 1627, 43: Ὅτι δὲ καὶ ἰσοσυλλάβως ἐκλίθη τὸ γάλα τοῦ γάλα, ἐν τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους (fr. LV.) κεῖται, ὅπου φησὶν ἐκεῖνος καὶ ὅτι τὴν δόκησιν καὶ ὑπόληψιν δοκόν ὁ Καλλίμαχος ἔφη, γράψας· „τῷ γ’ ἐμῷ δοκῷ“, ἤγουν τῇ ἐμῇ δοκήσει. καί τις ἕτερος βάδον τὴν βάδισιν. Καὶ ὅτι παρὰ Αἰτωλοῖς τὸ τοῖς γέρουσι γερόντοις φράζεται, οἷον· „Μιλησίοις καὶ ταῖς συναρχίαις καὶ τοῖς γερόντοισ“, καὶ τὸ παθήμασι παθημάτοι ς. [5]

55 Καὶ Πλάτων δέ, φησίν, ὁ κωμικὸς ὁ πρόσωπος εἴρηκεν ἀντὶ τοῦ πρόσωπον, καὶ ἀντὶ τοῦ γάλακτος ἢ γάλατος τοῦ γάλα ἔκλινε δισυλλάβως. Cf. Eus t . Od. p. 1627, 43: Ὅτι δὲ καὶ ἰσοσυλλάβως ἐκλίθη τὸ γάλα τοῦ γάλ α, ἐν τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους κεῖται, ac mox paucis interiectis (vide fr. LIII.), καὶ ὅτι εὔρηται καὶ ὁ πρόσωπος ἀντὶ τοῦ πρόσωπον. καὶ οὐδέν τι τούτων, φησί, πεπαιγμένον ἐστίν, ἀλλὰ πάντα ἐσπούδασται. Εἴρηται δέ, φησί, καὶ τὸ ἀπόστηθι ἀπόστα, καθὰ δηλαδὴ καὶ τὸ κατάβηθι κατάβα παρὰ Ἀριστοφάνει. [5]

57 Καὶ οἱ ἔμετοι ἐμίαι [ὡς κοχλίαι]. Εὔπολις δέ, φησίν, ἐπὶ τοῦ κακοφώνου τὸν ἐμίαν τίθησιν. Ἐπὶ δὲ πᾶσι λέγει ὁ αὐτὸς γραμματικὸς καὶ μόμφον πα ρ ’ Εὐριπίδῃ τὴν μέμψιν λεχθῆναι.

59 Scho l . Ven. Il. A, 567: ἀάπτου ς] ἐν δὲ ταῖς Ἀριστοφάνους Γλώτταις διὰ τοῦ ε ἐγέγραπτο ἀέπτου ς. Cf. Eus t . Il. p. 150, 17: Ἀριστοφάνης δὲ ἐν ταῖς γλώσσαις, ὥς φασιν οἱ παλαιοί, ἀέπτους γράφει διὰ τοῦ ε, οἱονεὶ ἀρρήτους ἃς οὐ δύναταί τις εἰπεῖν, ἢ δυσπαρακολουθήτους, αἷς οὐ δύναταί τις ἕπεσθαι. Similiter Ety m . Crameri A. P. IV. p. 84, 23. Adde Scho l . N, 318:

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀρίσταρχος ἀέπτους, ἄλλοι δὲ ἀάπτους· ubi Ἀριστοφάνης pro Ἀρίσταρχος correxit Lehrsius. Fragm.

60 Paris. §. 1: Ὅτι ἔστι καὶ Ἀθηναία γυνή, ὥσπερ ἀνὴρ Ἀθηναῖος. Scho l .

61 L. Il. E, 266: ποινήν· ἀπὸ τοῦ πόνου τῆς ἐπαινετῆς ἐνεργείας· ὁμοίως καὶ ἄμυνα. φησὶ γὰρ ὁ γραμματικὸς Ἀριστοφάνης τὸ ἀμύνεσθαι οὐ μόνον σημαίνειν τὸ κακῶς παθόντα ἀντιδιατιθέναι, ἀλλὰ τίθεσθαι καὶ ἀντὶ ψιλοῦ τοῦ ἀμείψασθαι. φέρει γὰρ χρῆσιν ἔκ τε Ἀλκμᾶνος τὸ „οὐ γὰρ πορφύρας τόσσος κόρος ὥστ' ἀμύνασθαι“ καὶ Θουκυδίδου, „ἀξιούτω τοῖς ὁμοίοις ἡμᾶς ἀμύνασθαι.“ Scho l .

62 Od. ο, 397: ἀνακτορίησιν· ὁ μὲν Ἀρίσταρχος ταῖς δεσποτικαῖς, ὁ δὲ Ἀριστοφάνης ὧν ἕκαστος ἄρχει [ὅθεν καὶ ὁ χειρῶναξ]. Recepit Eus t . Od. p. 1785, 38: ἀνακτορίας δὲ ὕας Ἀρίσταρχος μὲν τὰς δεσποτικάς φησιν, Ἀριστοφάνης δὲ ὧν ἕκαστος βόσκων ἀνάσσει, ὅ ἐστιν ἄρχει. Scho l .

63 Ar. Nub. 1150: Ἀπαιόλη] Ἀριστοφάνης δὲ ὀξύνεσθαί φησι τὴν ἐσχάτην. Scho l .

64 Ar. Nub. 1007: ἀπραγμοσύνη δὲ φυτόν, ὡς Ἀριστοφάνης ὁ γραμματικός, ἐν Ἀκαδημίᾳ φυόμενον. Fragm.

65 Paris. §. 10: Καὶ γόμος, ὁ φόρτος. Eus t .

66 Od. p. 1455, 33: Εὐριπίδης γὰρ ἐπὶ συνετοῦ εἴρηκε τὸ δριμ ύ , ὡς λέγει Ἀριστοφάνης ὁ γραμματικός. Eus t .

67 Od. p. 1827, 47: Καὶ γυμνασίου δέ, φασίν, ἐπιστάτης ὁ ἐπιμελητής. ἐνταῦθα δὲ μνηστέον τοῦ γραμματικοῦ Ἀριστοφάνους, εἰπόντος οὕτω ῥητῶς· „ ἐπιστάτης ἐπὶ μόνου τοῦ χυτρόποδος δοκεῖ τοῖς πολλοῖς τάττεσθαι, καὶ τοῦ μεταίτου, ὡς παρ' Ὁμήρῳ. ἀγνοοῦσι δὲ ὅτι καὶ ὁ παιδοτρίβης οὕτω καλεῖται. τὸ δὲ καὶ ἐπὶ τῶν ἄλλων καθηγητῶν τάττειν οὔ φημι πάντως τὴν χρῆσιν δεικνύναι.“ Fragm.

68 Paris. §. 17: Ζωή λέγεται καὶ ἐπὶ τῆς περιουσίας, ὡς παρ' Ὁμήρῳ· Ἦ γάρ οἱ ζωή γ' ἦν ἄσπετος, οὔτινι τόσση· Δώδεκ' ἐν ἠπείρῳ ἀγέλαι. Erotia n .

69 Gl. Hipp. p. 180: Θράσσε ι. Βακχεῖός φησι κεντεῖ, νύττει. Ἡρακλείδης ὁ Ταραντῖνος ἐρεθίζει. ἔστι δὲ ὀχλεῖ, ὡς καὶ Σοφοκλῆς ἐν Ἑλένης Ἀπαιτήσει φησί—. Θράσσειν, μαίνεσθαι, ὡς καὶ Ἀριστοφάνης ὁ γραμματικός. θρίσσειν δέ φασι τὸ κατὰ ψύχην ἐξίστασθαι. Eus t .

70 Od. p. 1680, 23: Φέρεται ἐν τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους, ὅτι τὸ ἴσθι ἀντὶ τοῦ γίνωσκε οἶδεν Ὅμηρος, ἀντὶ δὲ τοῦ ὕπαρχε τὸ ἔσο τίθησιν, οἷον „Καὶ σὺ φίλος, μάλα γάρ ς' ὁρόω καλόν τε μέγαν τε, ἄλκιμος ἔσσο“. καὶ οὕτω μέν, φησί, παρ' Ὁμήρῳ ἔχει καὶ οὐκ ἄλλως· Ἀττικοὶ δὲ ἅπαντες τὸ ἴσθι ἐπὶ τοῦ ὕπαρχε τάττουσιν. Εὔπολις· „μὴ τρηχὺς ἴσθι“, καὶ „ὦ δαιμόνι' ἀνδρῶν, μὴ φθονερὸν ἴσθ' ἀνδρίον“ [ἤγουν μὴ φθονερὸς ἔσο ἄνθρωπος]. Huc spectat Fragm. Paris. §. 7: καὶ ἴσθι ἀντὶ τοῦ ὕπαρχε. Eus t .

71 Od. p. 1599, 14: Ἥφαιστος—κυλλοποδίων λέγεται, ὡς παθὼν ἐπικύλλωμα ἢ κατακύλλωμ α· ὧν ἀμφοτέρων μνησθεὶς Ἀριστοφάνης ὁ γραμματικὸς οὐδέτερον αὐτῶν ἀνάττικον εἶναί φησιν. Fragm.

72 Paris. §. 4: Καὶ καταφαγᾶ ς , ὁ ἀδηφάγος. Fragm.

73 Paris. §. 5: Καὶ κοκκύζειν ἐπὶ τοῦ ἀλεκτρυόνος. Fragm.

74 Paris. §. 11: Καὶ κοράσιον, ἡ κόρη. At h .

75 IX. p. 384. D: κρεοκάκκαβο ς. κρέα δ' ἐστὶ ταῦτα συγκεκομμένα μεθ' αἵματος καὶ λίπους ἐν ζωμῷ γεγλυκασμένῳ. λέγειν δὲ οὕτως Ἀριστοφάνης ὁ γραμματικὸς Ἀχαιούς, ὁ Μυρτίλος ἔφη. Gram m .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

76 Cram. Anecd. Ox. I. p. 221. II. p. 455. Ety m . M. p. 547. Gud. p. 355. Suida s: Κύρβει ς· αἱ τὰς τῶν θεῶν ἑορτὰς ἔχουσαι—Ἀσκληπιάδης δὲ (ἐν τοῖς τῶν ἀξόνων ἐξηγητικοῖς) ἀπὸ Κύρβεως τοῦ τὰς θυσίας ὁρίσαντος, ὥς φησι Φανίας ὁ Ἐρέσιος—Ἐρατοσθένης δὲ τριγώνους αὐτάς φησιν εἶναι, οὐ τετραγώνους, Ἀριστοφάνης δὲ ὁμοίας αὐτὰς εἶναι τοῖς ἄξοσι, πλὴν ὅτι οἱ μὲν ἄξονες νόμους, αἱ δὲ κύρβεις θυσίας ἔχουσιν. ἀμφοτέρων δὲ τὸ κατασκεύασμα τοιοῦτο· πλινθίον τι μέγα ἀνδρόμηκες, ἡρμοσμένα ἔχων τετράγωνα ξύλα τὰς πλευρὰς πλατείας ἔχοντα καὶ γραμμάτων πλήρεις, ἑκατέρωθεν δὲ κνώδακας, ὥστε κινεῖσθαι καὶ περιστρέφεσθαι ὑπὸ τῶν ἀναγινωσκόντων. At h .

77 XI. p. 485. D: Ἀμερίας δέ φησι τὴν οἰνοχόην λεπαστήν καλεῖσθαι· Ἀριστοφάνης δὲ καὶ Ἀπολλόδωρος γένος εἶναι κύλικος. Pho t .

78 p. 249, 19. sive Suida s: Μασχαλίσματ α· Ἀριστοφάνης παρὰ Σοφοκλεῖ ἐν Ἠλέκτρᾳ κεῖσθαι τὴν λέξιν ἔθος σημαίνουσαν. οἱ γὰρ φονεύσαντες ἐξ ἐπιβουλῆς τινας ὑπὲρ τοῦ (τὴν) μῆνιν ἐκκλίνειν ἀκρωτηριάσαντες μόρια τούτου καὶ ὁρμαθίσαντες ἐξεκρέμασαν τοῦ τραχήλου διὰ τῶν μασχαλῶν διείραντες, καὶ μασχαλίσματα προσηγόρευσαν. σημαίνει δὲ ἡ λέξις καὶ τὰ τοῖς μηροῖς ἐπιτιθέμενα ἀπὸ τῶν ὤμων κρέα ἐν ταῖς τῶν θεῶν θυσίαις. Scho l .

79 Ap. Rh. IV, 973: Ὁ δὲ ὀρείχαλκος εἶδος μέν ἐστι χαλκοῦ, ὠνόμασται δὲ ἀπὸ Ὀρείου τινὸς εὑρετοῦ γενομένου. Ἀριστοτέλης δὲ ἐν Τελεταῖς μηδὲ ὑπάρχειν φησὶ τὸ ὄνομα, μηδὲ τὸ τούτου εἶδος. τὸν γὰρ ὀρείχαλκον, φησίν, ἔνιοι ὑπολαμβάνουσι λέγεσθαι μέν, μὴ εἶναι δέ· τῶν δὲ εἰκῆ διαδεδομένων καὶ τοῦτο. μνημονεύει δὲ αὐτοῦ καὶ Στησίχορος καὶ Βακχυλίδης, καὶ Ἀριστοφάνης ὁ γραμματικὸς ἐπισημαίνεται. Οἱ δὲ ἀνδριαντοποιοῦ λέγουσιν ὄνομα, ὡς Σωκράτης καὶ Θεόπομπος ἐν λε′. Οὕτως οὖν ἦν ἐν τῇ κωμικῇ λέξει τῇ συμμίκτῳ. Scho l .

80 K, 334: πολιοῖο λύκοιο] λευκοῦ—· ὁ δὲ Ἀριστοφάνης τεφρώδους φησί· λέγει γὰρ μὴ εἶναι λύκον λευκόν. Harpoc r .

81 p. 158, 12. Pho t . p. 455. Suid,: Προκώνι α· Λυκοῦργος ἐν τῷ κατὰ Μενεσαίχμου. Δίδυμος δὲ προκώνια, φησί, πυροὶ μέλιτι κεχρισμένοι. Ἀριστοφάνης δὲ ὁ γραμματικὸς καὶ Κράτης τὰ ἐξ ἀφρύκτων κριθῶν οὕτω φασὶν ὀνομάζεσθαι. Fragm.

82 Paris. §. 18: Σκινθαρίζειν ἐστὶ τὸ τῷ μέσῳ δακτύλῳ παίειν τινὸς τὸν μυκτῆρα· ῥαθαπυγίζειν δὲ τὸ σιμῷ τῷ ποδὶ τὸν γλουτὸν παίειν, ὣς εὕρηται ἐν Ἱππεῦσιν Ἀριστοφάνους. Scho l .

83 E, 289: ταλαύρινο ν] Ἀρίσταρχος ψιλοῖ τὸ ρ· οὐ γάρ, φησί, σύνθετον δεῖ νοεῖν τὸν σχηματισμόν, ἀλλὰ κατὰ ἁπλῆν ἔννοιαν τὸν εὔτολμον καὶ ἰσχυρόν· ὁμοίως δὲ καὶ Ἀριστοφάνης. Scho l .

84 O, 606: τάρφεσιν ὡς βέλεσιν οἱ πλείους· καὶ ἡμεῖς δὲ συγκατατιθέμεθα· οὐ γάρ ἐστιν ἐπιθετικόν, ὡς ἀξιοῖ Τυραννίων. ὁ μέντοι Ἀριστοφάνης ἐκεῖνό φησιν, ὅτι ἐὰν μὲν τοῖς δάσεσιν ὡς βέλεσι, τάρφεσιν, ἐὰν δὲ τὸ ἐπιθετικόν, ταρφέσιν ὡς ὀξέσιν. Fragm.

85 Paris. §. 2: Καὶ φέρν η , ἡ προίξ. Erotia n .

86 Gloss. Hipp. p. 388: Φορίνης · πυρίνης. φησὶν οὕτως Ἀριστοφάνης ὁ γραμματικός. Scho l .

87 Ψ, 104: φρένας λέγει οὐ τὸ διανοητικόν, ἀλλὰ μέρος τι τῶν ἐντὸς σώματος, ὡς καὶ ἀλλαχοῦ· „ἔν τε φρένες ἧπαρ ἔχουσι“ καὶ πάλιν· „ἔνθ’ ἄρα τε φρένες ἔρχαται“. [ἔστιν οὖν ἀπὸ μέρους τὸ ὅλον σῶμα.] οὕτως Ἀριστοφάνης ὁ γραμματικός. Scho l .

88 γ, 244: Ἀριστοφάνης τὸ φρόνιν νῦν μὲν ἐπὶ τῆς φρονήσεως, ἐν δὲ τῷ „κατὰ δὲ φρόνιν ἤγαγε“, τὴν καταφρόνησιν. Fragm.

89 Paris. §. 6: Καὶ ψελλό ς . Erotia n .

90 Gloss. Hipp. p. 392: Χέδροπ α. τὰ ὄσπρια οὕτω καλοῦσιν οἱ Ἀττικοί. ἔνιοι δὲ διὰ τοῦ κ γράφουσι κέδροπα. Ἀριστοφάνης δὲ ὁ γραμματικὸς διὰ τοῦ χ γράφων, φησὶ χέδροπα τὰ παρ’ ἄλλοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄσπρια. [εἴρηται γὰρ παρὰ τὸ τῇ χειρὶ αὐτὰ δρέπεσθαι, ὡς καὶ Νίκανδρος ἐν Γεωργικοῖς φησι· Χειροδρόποι δ’ ἵνα φῶτες ἄνευ δρεπάνοιο λέγωνται.] Fragmenta dubia. [5]

91 Hesyc h . I. p. 6: Ἄανθα · εἶδος ἐνωτίου παρὰ Ἀλκμᾶνι ἢ Ἀριστοφάνει. Pho t .

92 p. 72, 21: Ἤ ποθεν· ἀμόθεν. οὕτως Ἀριστοφάνης. Suida s: Ἀνασηκῶσα ι .

93 ἀνταποδοῦναι ἢ ἀναλαβεῖν, ὥςπερ οἱ ἱστάντες· οἷον ἐξισῶσαι τῷ λείποντι ἢ πλεονάζοντι. οὕτως Ἀριστοφάνης. Epi m .

94 Hom. in Cram. An. Ox. I. p. 83, 8: ἀνόπαια · ὀπή, ὀπαία καὶ ἀνόπαια, ἡ καπνοδόχη· οὕτως Ἀριστοφάνης. τοὺς γὰρ ἀρχαίους οἴκους ἐν τῇ ὀροφῇ τὰς ἀναπνοὰς ἔχειν. Scho l .

95 Harl. v, 247. in Cram. A. P. III. p. 484: ἀρδμο ί , ποτισμοί, ἔνθα ποτίζουσι τὰ ζῶα. ἀρδμός, ἐκτατέον τὸ α ὁμοίως τὸ ἄρδω ὁ Ἀριστοφάνης. Ammo n .

96 p. 24: Ἄρρωστος καὶ ἀρρωστῶν διαφέρει. ἄρρωστος μὲν γὰρ ὁ νοσῶν· ἀρρωστῶν δέ ἐστιν ὁ ἀδυνατῶν ἐπιτελεῖν τὰ κατὰ τὰς ὀρέξεις, ὡς Ἀριστοφάνης φησίν. Hesyc h .

97 I. p. 859: Γρίσω ν· ὗς. Ἀριστοφάνης δὲ ὄνομα δρομέως, νενικηκότος ἐν Ὀλυμπίᾳ στάδιον. Similiter Ety m . M. p. 241, 49: γρίσων ὁ χοῖρος· Ἀριστοφάνης δέ φησι δρομέως ὄνομα. Zo n . Lex. p. 452: γρίσων ὁ χοῖρος, καὶ ὄνομα δρομέως παρὰ Ἀριστοφάνει. Cf. Eust. Od. p. 1926, 56: γρίσσων ὁ χοῖρος κατὰ γλῶσσαν. Ety m . [5]

98 M. p. 286, 23. sive Zo n . p. 571. sq.: Δρᾶμ α. λέγεται δὲ δράματα καὶ τὰ ὑπὸ τῶν θεατρικῶν μιμηλῶς γινόμενα, ὡς ἐν ὑποκρίσει, ὥς φησιν Ἀριστοφάνης· ἐπειδὴ ἐν ἱερῷ Ἡρακλέους δειπνοῦντες ἐγίνοντο χορός. καὶ τὰ ἐκ συσκευῆς δὲ καὶ κακουργίας δρώμενα κατά τινος ὑπό τινων δράματα. Ety m . [5]

99 M. p. 625, 24: ὅθεν καὶ τὸ ἐνικλᾶν · τοῦτο δὲ ὁ Ἀριστοφάνης ἀντὶ τοῦ ἀντιλέγειν φησί· τὴν γὰρ ἐν πρόθεσιν ἀντὶ τῆς ἀντί εὑρίσκει, ὡς παρὰ Σοφοκλεῖ ἐν τῷ Αἴαντι, οἷον· τὸν σὸν ἐνστάτην λέγω, ἀντὶ τοῦ ἀντιστάτην. Ὦρος. Ety m . [5]

100 M. p. 539, 38: Κροαίν ω· τὸ κτυπῶ καὶ ἠχῶ. Ἀριστοφάνης τὸ τοῖς ποσὶ σκιρτᾶν καὶ κροτεῖν. Cf. Ety m . Gu d . p. 348, 7: Κροαίνειν φησὶν Ἀριστοφάνης τὸ τοῖς ποσὶ κροτεῖν καὶ σκιρτᾶν. Erotia n .

101 Gloss. Hippocr. p. 312: Πικερί ῳ· βουτύρῳ. ὡς καὶ Ἀριστοφάνης ἐν τοῖς ὑπομνήμασί φησιν, ὅτι Θόας ὁ Ἰθακήσιος ἱστορεῖ παρὰ Φρυξὶ πικέριον καλεῖσθαι τὸ βούτυρον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org